eul_wid: mmg-bc

*Ἀνώνυμος ἱστορικός (ἀποσπάσματα)* · Historical Fragments Anonymous

# Writers-Athens

*Συγγραφεῖς περὶ Ἀθηνῶν*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Συναγωγή* Collection

3b,329,T 1 DIONYS. HAL. A. R. 1, 8, 3: σχῆμα δὲ ἀποδίδωμι τῆι πραγματείαι οὔθ' ὁποῖον οἱ τοὺς πολέμους ἀναγράψαντες ἀποδεδώκασι ταῖς ἱστορίαις οὔθ' ὁποῖον οἱ τὰς πολιτείας αὐτὰς ἐφ' ἑαυτῶν διηγησάμενοι οὔτε ταῖς χρονικαῖς παραπλήσιον ἃς ἐξέδωκαν οἱ τὰς Ἀτθίδας πραγματευσάμενοι· μονοειδεῖς γὰρ ἐκεῖναί τε καὶ ταχὺ προσιστάμεναι τοῖς ἀκούουσιν.

3b,329,T 2 IOSEPH. c. Ap. 1, 17: οὐδ' αὖ περὶ τῶν Ἀττικῶν οἱ τὰς Ἀτθίδας συγγεγραφότες ἢ περὶ τῶν Ἀργολικῶν οἱ τὰ περὶ Ἄργος ἱστοροῦντες ἀλλήλοις κατηκολουθήκασι.

3b,329,F 1 STRABON 5, 2, 4 p. 221: καὶ οἱ τὴν Ἀτθίδα συγγράψαντες ἱστοροῦσι περὶ τῶν Πελασγῶν ὡς καὶ Ἀθήνησι γενομένων [τῶν Πελασγῶν]· διὰ δὲ τὸ πλανήτας εἶναι καὶ δίκην ὀρνέων ἐπιφοιτᾶν ἐφ' οὓς ἔτυχε τόπους Πελαργοὺς ὑπὸ τῶν Ἀττικῶν κληθῆναι.

3b,329,F 2 STRABON 9, 1, 6 p. 392: οἵ τε τὴν Ἀτθίδα συγγράψαντες, πολλὰ διαφωνοῦντες, τοῦτό γε ὁμολογοῦσιν, οἵ γε λόγου ἄξιοι, διότι τῶν Πανδιονιδῶν τεσσάρων ὄντων, Αἰγέως τε καὶ Λύκου καὶ Πάλλαντος καὶ τετάρτου Νίσου, καὶ τῆς Ἀττικῆς εἰς τέτταρα μέρη διαιρεθείσης, ὁ Νίσος τὴν Μεγαρίδα λάχοι καὶ κτίσαι τὴν Νισαίαν. Φιλόχορος (328 F 107) μὲν οὖν ἀπὸ Ἰσθμοῦ μέχρι τοῦ Πυθίου διήκειν αὐτοῦ φησι τὴν ἀρχήν, Ἄνδρων (10 F 14) δὲ μέχρι Ἐλευσῖνος καὶ τοῦ Θριασίου πεδίου.

3b,329,F 3 CLEM. AL. Strom. 1, 104: κατὰ δὲ τὸ ὀκτωκαιδέκατον ἔτος τῆς Ἀγαμέμνονος βασιλείας Ἴλιον ἑάλω, Δημοφῶντος τοῦ Θησέως βασιλεύοντος Ἀθήνησι τῶι πρώτωι ἔτει, Θαργηλιῶνος μηνὸς δευτέραι ἐπὶ δέκα, ὥς φησι Διονύσιος ὁ Ἀργεῖος (308 F 1)· Ἀγίας δὲ καὶ Δερκύλος ἐν τῆι τρίτηι (305 F 2) μηνὸς Πανήμου ὀγδόηι φθίνοντος· Ἑλλάνικος (323a F 21b) δὲ δωδεκάτηι Θαργηλιῶνος μηνός· καί τινες τῶν τὰ Ἀττικὰ συγγραψαμένων ὀγδόηι φθίνοντος, βασιλεύοντος τὸ τελευταῖον ἔτος Μενεσθέως, πληθυούσης σελήνης— «νὺξ μὲν ἔην» φησὶν ὁ τὴν Μικρὰν Ἰλιάδα πεποιηκώς (F 11 Ki) «μεσάτα, λαμπρὰ δὲ ἐπέτελλε σελάνα»—· ἕτεροι 〈δὲ〉 Σκιροφοριῶνος τῆι αὐτῆι ἡμέραι.

3b,329,F 4 SCHOL. ARISTOPH. Lys. 1138: οὐκ ἴσθ' ὅτ' ἐλθὼν δεῦρο Περικλείδας ποτὲ / ὁ Λάκων Ἀθηναίων ἱκετὴς καθέζετο / ἐπὶ τοῖσι βωμοῖς ὠχρὸς ἐν φοινικίδι / στρατιὰν προσαιτῶν; ἡ δὲ Μεσσήνη τότε / ὑμῖν ἐπέκειτο χὠ θεὸς σείων ἅμα· / ἐλθὼν δὲ σὺν ὁπλίταισι τετρακισχιλίοις / Κίμων ὅλην ἔσωσε τὴν Λακεδαίμονα] ταῦτα καὶ οἱ συντεταχότες τὰς Ἀτθίδας ἱστοροῦσιν περὶ τῶν

Λακεδαιμονίων· ὁ δὲ Φιλόχορος (328 F 117) φησὶ καὶ τὴν ἡγεμονίαν τοὺς Ἀθηναίους λαβεῖν διὰ τὰς κατασχούσας τὴν Λακεδαίμονα συμφοράς.

3b,329,F 5 PLUTARCH. Quaest. conv. 8, 4, 3 p. 724 A: Πρωτογένης ὁ γραμματικὸς ὀνόματι καλέσας Πραξιτέλην τὸν περιηγητήν ‘οὕτω δὴ τούτουσ‘ ἔφη ‘τοὺς ῥήτορας ἐάσομεν περαίνειν τὸ οἰκεῖον, ἐξ εἰκότων καὶ πιθανῶν ἐπιχειροῦντας, αὐτοὶ δ’ ἀφ’ ἱστορίας οὐδὲν ἂν ἔχοιμεν τῶι λόγωι συμβάλλεσθαι; καίτοι δοκῶ μοι μνημονεύειν ἐν τοῖς Ἀττικοῖς ἀνεγνωκὼς ἔναγχος, ὅτι πρῶτος ἐν Δήλωι Θησεὺς ἀγῶνα ποιῶν ἀπέσπασε κλάδον τοῦ ἱεροῦ φοίνικος, ἧ καὶ σπάδιξ ὠνομάσθη.‘

3b,329,F 6 ANON. ARGENT. v. 19 ff.: ὅτι οἱ θεσ[μοθέτ]αι / —— δ ιὰ τὸ δίκας ἐ[πι]δεταγμέν α [ς] ——— / —— [εἰσά]γειν αὐτ ο [ί]. μ[ε] τ έβαινον δ[ὲ] ο[ .. ] .. [ . ]ν / —— [εἰς τὸν] Ἄρειον πάγο[ν]. τ[οῖ]ς (?) δὲ ξ θεμέ[νοις?] / —— π ρος ὃν αἱ χ ρ [ο]νογραφίαι ...... [ .. ?] / ——αρχος .. νομοφυλάκων ἀρχ . / —— [ἀν]δρῶν ια .

3b,329,F 7 PAUSAN. 1, 1, 4: ἐνταῦθα (scil. ἐν Φαληρῶι) ... βωμοὶ ... καὶ Φαληροῦ· τοῦτον γὰρ τὸν Φαληρὸν Ἀθηναῖοι πλεῦσαι μετὰ Ἰάσονός φασιν ἐς Κόλχους. ἔστι δὲ καὶ Ἀνδρόγεω βωμὸς τοῦ Μίνω, καλεῖται δὲ Ἥρωος· Ἀνδρόγεω δὲ ὄντα ἴσασιν οἷς ἐστιν ἐπιμελὲς τὰ ἐγχώρια σαφέστερον ἄλλων ἐπίστασθαι.

3b,329,F 8 PAUSAN. 1, 27, 4: πρὸς δὲ τῶι ναῶι τῆς Ἀθηνᾶς (scil. τῆς Πολιάδος) .... ἀγάλματα μεγάλα χαλκοῦ διεστῶτες 〈ἄνδρεσ〉 ἐς μάχην, καὶ τὸν μὲν Ἐρεχθέα καλοῦσιν, τὸν δὲ Εὔμολπον· καίτοι λέληθέ γε οὐδὲ Ἀθηναίων ὅσοι τὰ ἀρχαῖα ἴσασιν, Ἰμμάραδον εἶναι παῖδα Εὐμόλπου τοῦτον τὸν ἀποθανόντα ὑπὸ Ἐρεχθέως.

Eulogikon public reading copy · View original HTML at eulogikon.org